Histor. 265.
THESIS.
HALLE-WITTENBERG
1701
49.
THESIS

C. A. T.

ΔΙΑΛΕΞΙΝ ΙΗΤΡΙΚΗΝ

Περὶ

ΤΩΝ ΦΑΡΜΑΚΩΝ ΕΝ ΤΟΙ-CIN ΙΕΡΟΙCIN ΕΓΚΟΙΜΗCΕΙ ΠΑΡΑ ΘΕ-ΩΝ ΗΙΤΗΜΕΝΩΝ,

ὁμολογεούσης τῆς χαριεςάτης τάξεος
τῶν Ιητρῶν,

ἐν τῇ ἐνδοξοτάτῃ τοῦ Ἄλβιος Ἀκαδημίῃ.

προςάντος

Brendel

ΤΟΥ ΑΔΑΜ ΒΡΕΝΔΕΛΙΟΥ,

ΤΟΥ ΦΙΛΟΣΟΦΟΥ ΚΑΙ ΙΗΤΡΟΥ,

ἐξηγήσεται

Drexel

Ο ΙΩΑΝΝΗC ΓΕΩΡΓΙΟC ΔΡΕΞΕΛΙΟC,

Κουριεὺς τῶν Ὀυαρισκῶν,

Ἐν ἀκροατηρίῳ ἰητρικῷ,

Τῇ δευτέρῃ ἡμέρῃ Φθίνοντος Μηνὸς
Βοηδρομιῶνος,

τῇσιν ὥρῃσι τεταγμένῃσι,

Ἔτει ἀπὸ τῆς Θεογονίης

α ψ α.

Ἐν τῇ Βιτεμβέργῃ τῶν Σαξόνων.
Τυπογράφου Φινκελίου.

45
Wittenberg.
LANE MEDICAL LIBRAR
300 PASTEUR DRIVE
PALO ALTO, CALIF. 9/
238.

Lane Medical Library

Περὶ
Τῶν Φαρμάκων ἐν τοῖσιν ἱεροῖσιν ἐγκοιμήσει παρὰ Θεῶν ἠτημένων.

Κεφ. α΄.

ΟΥΚ ἂν ἀλόγως οἱ προβαλλόμενοι, τὰς πάσας τῶν τεχνέων ἐκ λεπτῆς καὶ ἀφανέος ἀρχῆς καταφοιτῆσαι, προϊόντος δὲ τοῦ χρόνου διὰ σπουδὴν τῶν τε χρεωμένων ὠφέλησιν, ἐξειργασμένας, μεγάλην ἐπίδοσιν ἐπιλαβεῖν, καὶ καθ' ἑκάστην ἡμέρην τοῖσιν εὑρήμασιν ἐπηυξημένας, νῦν δὴ σχεδὸν ἀκμάσαι. Οὐ γὰρ ἡ φύσις τὰ τῶν πραγμάτων ἀπόρρητα τοῖσιν ἀνθρώποισιν εὐθὺς ἀποδείκνυσιν, ἀλλὰ διελθόντος τοῦ χρόνου μετὰ σπουδῆς ζητέοντες, ταῦτα ἐφευρίσκουσιν. Ἀδύνατον γὰρ ξυστήσασθαι ἅμα τε καὶ τελειῶσαι τὴν τέχνην, ἀλλ' ἀγαπητόν, εἰ πολλοῖσιν ἔτεσι τὰ τῶν ἔμπροσθεν οἱ μετέπειτα παραλαμβάνοντες, καί τι προσιθέντες ταύτην συντελέουσι. Διὸ καὶ, κατὰ τὸν Κλήμεντα τὸν Ἀλεξανδρέα, δεῖ καὶ ὑμᾶς τούτοις προσεκ„ πονεῖν, καὶ προσεφευρίσκειν ἕτερα. Ἐπεὶ καὶ τοῖς„ ὁδὸν ἀπιοῦσιν, ἣν οὐκ ἴσασιν, ἀρκεῖ τὴν φέρουσαν,„

ὑποσημῆναι μόνον, βαδιστέον δὲ τὸ μετὰ τοῦτο ἤδη, καὶ λοιπὴν ἑαυτοῖς ἐξευρητέον. Ὥσπερ φασὶ καὶ δούλῳ τινὶ χρωμένῳ ποτὲ, τί ἂν ποιῶν, τὸν δεσπότην ἀρέσαιτο, ἀνειπεῖν τὴν Πυθίαν, εὑρήσεις, ἐὰν ζητήσῃς. Στρωματ. βιβλ. δ. Τοιαῦτα δὴ καὶ τῇ ἰητρικῇ, τέχνῃ ἐπιφανεστάτῃ, ξυνέβη, ἥτις πάλαι ἀνάσκητός, τε καὶ οὐδεμίης παιδείης μετεχηκυίη, καὶ ἐοῦσῃ ἐπιστήμῃ ὀλιγέων βοτανέων ἔτυχεν, ᾗσι τὰ νουσήματά τε καὶ τραύματα ἐθεραπεύετο· προβαίνοντος δὲ τοῦ χρόνου τοῖσιν εὑρήμασι τῶν τε χρεωμένων ἐκείνῃ, ὡς μάλιστα ἐκπεπονημένη, σχεδὸν ἐς ἀκμὴν κατεστάθη. Καλῶς, ὡς πολλὰ, ὁ „Ἱπποκράτης. ἀρχὴ καὶ ὁδὸς εὑρημένη, καθ' ἣν καὶ „τὰ εὑρημένα πολλά τε καὶ καλῶς ἔχοντα εὕρηται „ἐν πολλῷ χρόνῳ, καὶ τὰ λοιπὰ εὑρεθήσεται, ἤν τις „ἱκανός τε ὢν, καὶ τὰ εὑρημένα εἰδὼς, ἐκ τούτων ὁρ„μώμενος ζητέῃ. περὶ αρχ. ἰητρ.

Κεφ. β'.

Οὐδὲν δὲ θαυμάζειν ἄξιον, τοὺς πρὸ ἡμέων τῆς ἰητρικῆς ἀμελῆσαι, οὐκ ἐδέοντο γὰρ αὐτῆς, ἐπειδήπερ μετρίως τε καὶ σωφρόνως ὀψαόμενοι, ὑγιεινοτάτως βίον διήγαγον, ἀτελίην ἔχοντες πασέων νούσων. Κατ' ἐκεῖνον γὰρ χρόνον οὐδέποτε ὑπὸ τῆς τρυφῆς διεφθαρμένοι οἱ ἄνθρωποι, τῶν ποικίλων σιτίων ἠπόρησαν. Η γὰρ σωφροσύνη καὶ λεπτότης τῆς διαίτης χρήσιμός ἐστι πρὸς μακροβιότητα,

τητα, καὶ κατὰ πᾶσην τὴν γῆν, καὶ κατὰ πάντα ἤέρα μακρόβιοι γεγόνασιν ἄνθρωποι, οἱ γυμνασίοισι τοῖσι καθήκουσι, καὶ διαιτήματι τῷ ἐπιτηδειοτάτῳ πρός ὑγιείην χρεώμενοι. Ἁπλόη δή τε τροφὴ ὑγιεινότερός ἐςι τῶν ποικιλέων, καὶ ἄθροισμα τῶν γευσέων βλαβερὸν, καὶ ἀρώματα ὀλέθρια, ὀυ γὰρ ἐοίκασεν ὀυδὲν, ἀλλὰ πολὺ διαφέρουσιν αὐτά τε ἑωυτῶν, καὶ ἐν τῆσι μεταβολῆσι. Καὶ δὴ τὴν „ αὐτὴν γνώμην ἔχει ὁ Ιπποκράτης. Τοῦτο μὲν ὀῦν, „ φάσκει, ὅταν τις πλείονας τροφὰς, ἢ ὑγρὰς, ἢ „ ξηρὰς δίδωσι τῷ σώματι, ἢ τὸ σῶμα δύναται φέ-„ ρειν, καὶ πόνον μηδένα τῷ πλήθει τῶν τροφῶν ἀν-„ τιτίθησι. τοῦτο δὲ, ὅταν ποικίλας καὶ ανομοίους ἀλ-„ λήλοισιν ἐσπέμπῃ τροφάς. Τὰ γὰρ ἀνόμοια ςα-„ σιάζει, καὶ τὰ μὲν θᾶσσον, τὰ δὲ χολαίτερον πέσ-„ σεται. Περὶ φυσῶν. Δτὰ τί καὶ θηρία , κατὰ „ Πλούταρχον, τροφῆς μονοειδέσι, καὶ ἁπλαῖς χρώμε-„ να, μᾶλλον ὑγιαίνει τῶν ἀνθρώπων. Συμπ. βιβλ. „ γ. προβλ. α. Τὸ γὰρ τῆς ἀκριβέος διαίτης μέρος δύναται ἰσχυρῶς ἐν τῇ φύσεϊ τοῦ ἀνθρώπου καὶ ὑγιῶσαι, καὶ ἀσθενέα ποιῆσαι, καὶ ἀποκτεῖναι. Διότι καὶ ἐν τοῖσιν Ινδοῖσι μηδὲν νόσους εἶναι διὰ τὴν λεπτότητα τῆς διαίτης, καὶ τὴν ἀοινίην, γράφει Στρά-„ βων, γεωγραφ. βιβλ. ιέ.

Κεφ. γ.

Τοσούτου δὲ δέει, τὸν οἶνον σύμμετρον τῶν νουσημά-

των αἴτιον εἶναι, ὥστε μάλιστα ποιέειν, καὶ ἀέξειν, καὶ σώζειν τὴν ὑγιείην, καὶ Φρένα τέρπειν, καὶ ἀν-„θρώπους ἀθύμως ἔχοντας ἀναψύχειν, τε καὶ πα-„ραθαρσύνειν. Ὀῖνος γὰρ, γράφει Ἀθηναῖος, ὀυ „πρὸς ἡδονὴν μόνον, ἀλλὰ καὶ πρὸς ὑγίειην προς-Φορώτερος. Πέσσει γὰρ μᾶλλον τὰ σιτία, καὶ λεπτομερὴς ὢν, ἐυανάδοτός ἐστι· δύναμιν δὲ τοῖς σώμασιν ἐμποιεῖ, τὸ αἷμα δὲ ἐνερευθὲς, καὶ ἐυανάδοτον κατασκευάζει, καὶ τοὺς ὕπνους ἀταράχτους παρέχει. „Δειπνοσ. α. σύμβαλλ. τὸν Ὅμηρον Ἰλιαδ. ζ. καὶ „Ἰλιαδ. ο. καὶ Ὀδυσσ. ς. Πλουταρχ. συμπ. βιβλ. ε. „πρόβλ. δ. Ἢν δέ τις ὑπερβάλλοι τὸ μέτριον, βλάπτει, καὶ τὰ ἐπιτερπέστατα ἀτερπέστατα γίγνεται, καὶ Φρενὸς ἐν ἑωυτέῃ στασιαζούσης, ἄνθρωπον πρὸς τὸ κακοποιέειν παροξύνει. Κατιόντος γὰρ τοῦ ὄινου ἐς τὸ σῶμα, ἐπαναπλέει κακὰ ἔπεα, καὶ μαινόμενα. Καὶ τοῦτο δὴ τὸν Πλάτωνα προέτρεψεν, ἵνα τοῖσι παισὶν ὄινον ἀπειρήκῃ. Πρῶτον μὲν, γρά„Φει, τοὺς παῖδας μέχρις ἐτῶν ὀκτωκαίδεκα τὸ „παράπαν ὄινου μὴ γεύεσθαι, διδάσκοντες, ὡς ὀυ χρὴ πῦρ ἐπὶ πῦρ ὀχετεύειν ἐίς τε τὸ σῶμα, καὶ ψυχὴν, πρὶν ἐπὶ τοὺς πόνους ἐγχειρεῖν πορεύεσθαι τὴν ἐμμανῆ ἐυλαβόμενοι ἕξιν τῶν νέων. Περὶ Νομ. „βιβλ. α. Ἰδὲ καὶ τὸν Ὅμηρον Ὀδυσσ. Φ. καὶ Ἀθηναι. „Δειπνοσ. ιέ.

Κεφ. δ.

Ὁμολογέεσθαι δὲ παρὰ πάντων ἡγέομαι, (ὥστε

περὶ

περὶ τῶν Φαρμάκων ἐν τοῖσιν ἱεροῖσιν ἐγκοιμήσεϊ παρὰ Θεῶν ἠτημένων, λέγειν ἄρχεσθαι) τὴν ἰητρικὴν ἀρχαιοτάτην, καὶ Θειοτάτην τε καὶ παρὰ πᾶσιν τῶν ἀνθρώπων ὀνομαστοτάτην εἶναι, διὸ καὶ οἱ πρῶτοι εὑρόντες ᾠήθησαν ἀξίην τὴν τέχνην Θεῷ προσ- „ θεῖναι, ὡς καὶ νομίζεται. Ἱπποκρ. περὶ ἀρχ. ἰητρ. „ Διὰ τοῦτο καὶ γέγονεν, ἵνα τοὺς ἰητρικοὺς, περὶ ἀνθρώπων Φιλοσόφους, ἀνεξαλείπτοισι τιμῆσι τιμήσωσι, καὶ Λουκιανὸς ἰατρικὴν πρᾶγμα ἱερὸν, καὶ Θεῶν „ παίδευμα, καὶ σοφῶν ἀνθρώπων ἐπιτήδευμα καλήσῃ, „ ἐν Ἀποκηρυττομ. καὶ περιϊόντος τοῦ χρόνου ἐν ἱεροῖσι τὴν τέχνην ἐδίδαξαν ἰητροὶ, ἐπειδήπερ Θεραπεῖαι τῶν σωμάτων γινόμεναι τῆς ἀγαθῆς προνοίης τῶν Θεῶν εἰσίν. Οὕτω μὲν γὰρ γινώσκω, ὅταν ἀναμιμνήσκωμαι τοῦ ἱεροῦ Μῆνος Καρου καλουμένου, τιμαομένου ἀξιολόγως, καὶ μεταξὺ Λαοδει „ κείας, καὶ τῶν Κάρούρων. Συνέστηκε δὲ καθ' ἡμᾶς, „ διδασκαλεῖο ἡροΦίλιον ἰατρῶν μέγα ὑπὸ ζεύξιδος, καὶ μετὰ ταῦτα Ἀλεξάνδρου Φιλαλήθους, καθάπερ ἐπὶ τῶν πατέρων τῶν ἡμετέρων Σμύρνη τὸ τῶν Ἐρασιστρατέου ὑπὸ Ἰκεσίου. Στραβ. γεωγραφ. βιβλ. „ ιβ Οὐδὲν γὰρ θειότερον, καὶ τιμιώτερον τοῦ διασώζειν ἀνθρώπους, καὶ διαφυλάττειν ὑγείην, ἄνευ ἧς ἂν ἢ πλούτου, ἢ τῆς εὐδαίμονος βασιληΐδος ἀρχῆς οὐδεμία χάρις ἐστί. Ἡ γὰρ ὑγίεια, Φθέγγεται, „ Πλάτων, πλείονος ἄξιον, ἢ τὰ τοῦ κάμνοντος χρή- „

 ματα.

ματα. Οὐδεὶς γὰρ ἂν οὖν ὅςις οὐχὶ προτιμήσειεν ὑγιαίνειν, ὀλίγον κεκτημένος ἀργυρίου μᾶλ-
„λον, ἢ τὰ βασιλέως τοῦ μεγάλου χρήματα κεκ-
„τημένος νοσεῖν. Δῆλον, ὅτι πλείςνος οἰόμενος εἶναι
„τὴν ὑγίειαν. Ἐν Ἐρυξίᾳ. Συμβαλλ. τὸν Εὐριπιδ. Ἀνδρομαχ. Πλουταρχ. περὶ μαντείας.

Κεφ. έ.

Ὥςπερ δὲ οἱ Αἰγύπτιοι περὶ πάσας τῶν τεχνέων, οὕτω καὶ μάλιςα περὶ ἰητρικὴν ἐσπούδασαν, ἣν καὶ πλείςου ἀξίην ἐποίησαν, ὥςε σχεδὸν πάντες τῶν Αἰγυπτίων ἰητροὺς ὑπᾶρξαι. Ἐν ἱεροῖσιν οὖν, καθάπερ εἴρηται, τὴν τέχνην ἐδίδαξαν, οἷσι συντυχεῖν οὐκ ἐξῆν, καὶ τὰ τῶν πραγμάτων ςοιχεῖα ἀποκρύψαντες, ἀληθείην λανθάνειν ἐβουλήθησαν. Τῶν γὰρ Αἰγυπτίων ἱερέες περιττοὶ ἐόντες κατὰ τὴν ἐπιςήμην τῶν οὐρανίων, μυςικοί, καὶ δυςμετάδοτοι, πολλὰ ἀπέκρυψαν, τῆς ζημίης ὡρισμένης, ἤν τις ταῦτα προςδιδοίη. Διὰ τοῦτο ἡ ἰητρικὴ παρ' ἱερέων διαπεπονημένη, καὶ πρὸς τὸ καθῆκον τέλος διηκριβωμένη, χρόνῳ δὲ ἐπὶ τῶν ἑλλήνων ἀπῆλθεν, ἀλλ' ἀνάσκητός τε καὶ ᾐνιγμένη. Ὁ δὲ Ψαμμίτιχος πρῶτος τῶν κατ' Αἴγυπτον βασιλέων ἀνέῳξε τοῖσιν ἄλλοισιν ἔθνεσι τὰ κατὰ τὴν ἄλλην χώρην ἐμπόρια, καὶ φιλέλλην ἐὼν διαφερόντως, υἱοὺς τὴν ἑλληνικὴν ἐδίδαξε παιδείην. Διδομένης τοίνυν ἐξουσίης συνεῖναι, πολλοὶ τῶν ἑλλήνων, ἀπλήςως πρὸς τὴν πα-

παιδείην ἔχοντες, ἐς Αἔγυπlον κατέβησαν, ἵνα τοῖσιν ἱερεῦσιν ἐντυγχάνοντες, τῶν ἐνταῦθα νομίμων, καὶ παιδείης μετάχωσιν. Οἱ γὰρ ἱερεῖς, γράφει Διοδ. Σικελ. τῶν Ἀεγυπlίων ἱςοροῦσιν ἐκ τῶν ἀνα-„ γραφῶν τῶν ἐν τοῖς ἱεραῖς βίβλοις παραλαβεῖν „ πρὸς αὐτοὺς Ὀρφέα τε καὶ Μουσαῖον, καὶ Μελάμποδα, καὶ Δαίδαλον. Πρὸς δε τούτοις Ὅμηρόν τε ποιητὴν, καὶ Λυκοῦργον, τὸν Σπαρτιάτην, ἔτι δὲ Σόλωνα, τὸν Ἀθηναῖον, καὶ Πλάτωνα, τὸν Φιλόσοφον, καὶ τὸν Μαθηματικὸν Εὔδοξον. Ἔτι καὶ Δημόκριτον, τὸν Ἀβδηρίτην, καὶ Ὀινοπίδην, τὸν χῖον. Πάντων δὲ τούτων σημεῖα δεικνύουσι, τῶν μὲν εἰκόνας, τῶν δε, τόπων ἢ κατασκευασμάτων ὁμωνύμους προσηγορίας. Ἐκ δὲ τῆς ἑκάςῳ ζηλωθείσης„ παιδείας ἀποδείξεις φέρουσι, συνιςάντες ἐξ Ἀεγύ„ πlου μετενηνοχέναι πάντα, δι' ὧν παρὰ τοῖς ἕλλη-„ σιν ἐθαυμάσθησαν. βιβλιοθ. ἱςορικ. βιβλ. α.

Κεφ. ϛʹ.

Ὡς δὲ γοῦν ἐγγυτέρω πρὸς τὴν πρόθεσιν παραγίνεσθαι, διὰ νυκτὸς ἐν τοῖσιν ἱεροῖσιν ἐνεκοίμησαν οἱ κάμνοντες, κατ' ὄναρ φάρμακα παρὰ τῶν Θεῶν παραλαμβάνοντες, καθάπερ μαρτυρέει ὁ Λυκόφρων, περὶ τάφου τοῦ Ποδαλειρίου φράζων. Δω-„ ραῖς δὲ μήλων τύμβον ἐγκοιμωμένοις χρήσει καθ'„ ὕπνον πασὶ νημερτὴν φάτιν. Ἐν Κασσανδ. Ειώ„ θασιν,

„Θασιν, γράφει ὁ Ἰσαάκιος Τζέτζος, οἱ Δαύνιοι ἤτοι „Καλαυροὶ ἐν μηλωταῖς καθεύδειν ἐν τῷ τάφῳ τοῦ „Ποδαλειρίου, καὶ καθ' ὕπνον λαμβάνειν χρησμοὺς ἐξ ἀυτοῦ. Καὶ ὁμονοέει Στράβων, περὶ τοῦ Καλ-„χάντου μνῆμα διελθὼν· ἀναγίζουσι δὲ ἀυτῷ μέλενα „κριὸν οἱ μαντευόμενοι, ἐγκοιμώμενοι ἐν τῷ δέρματι. „γεωγραφ. ζ΄. συμβαλλ. βιβλ. ιά. Ἔπειτα δὲ τοῦτο χρὴ ἐιδέναι, τὴν ἐγκοίμησιν πλεῖστον κεχωρίσθαι ἀπὸ τοῦ Παννυχισμοῦ, ἐν τοῖσιν αἰωνίοισι Διὶ, Διονύσῳ, Ἥρῃ, Ἀφροτίδῃ, καὶ ἄλλοισι ἀγομένου, ἐν ᾧ οἱ ὀρτάζοντες ἡδέως ἔζην, περὶ παιδιᾶς, χοροὺς, καὶ ἄλλα ἡδύσματα διατρίβοντες. Πλάτων πολιτ. βιβλ. α. Πρὸς δὲ τουτέοισιν ὁσάκις τὰ Θεῶν ἱερὰ ἐσέβησαν, αἰεὶ εἴτε μύρον, εἴτε τἄλλον τὶ ἀφείλον, σπουδαίως διαφυλάττοντες πρὸς τὸ διασώζειν τὴν ὑγιείην. Ἐντεῦθεν ἂν ὄυν τὸ ἀφαιρόμενον πρᾶγμα ὑγιείην ἐκάλησαν, ὡς μὲν ὁ ἐλλογιμώτατος Ἑ-„σύχιος μαρτυρέει. Ὑγεία, ἀλφίτῳ, οἴνῳ, καὶ ἐλαίῳ „πεφυρασμένα, καὶ πᾶν ἐκ Θεοῦ φερόμενον, εἴτε μύ-„ρον, εἴτε Θαλλός,

Κεφ. ζ΄.

Πάντων δὲ τῶν ἐθνέων, ἃ μὲν ὄιδαμεν, μάλιστα οἱ Ἀεγύπτιοι περὶ τὰς ἐγκοιμήσεες διέτριψαν, Θεραπείας τῶν νουσημάτων παρὰ Θεῶν προσδεχόμενοι,

μενοι, τίνος ἕνεκα τὰ τῆς Ἴσιδος, Ὥρου καὶ Σαράπιδος ἱερὰ μάλα ἠξίωσαν. Ἀξιομνημόνευτός ἐστι τόπος Διοδ. Σικελ. ὃν καὶ ὅλον, πρὸς τὸ δηλῶσαι τὴν γνώμην, προσγράφειν μέλλομεν. Φασὶ δὲ Αἰγύπτιοι τὴν Ἶσιν φαρμάκων τε πολλῶν πρὸς „ ὑγείαν εὑρετὴν γεγονέναι, καὶ τῆς ἰατρικῆς ἐπιστήμης „ μεγάλην ἔχειν ἐμπειρίαν, καὶ τὸ σύνολον πολλὰ „ μηχανήσασθαι. Διὸ καὶ νῦν τυχοῦσαν ἀθανασίας, „ ἐπὶ ταῖς θεραπείαις τῶν ἀνθρώπων μάλιστα χαίρειν „ καὶ κατὰ τοὺς ὕπνους τοῖς ἀξιοῦσι διδόναι βοηθήματα, „ φανερῶς ἐπιδεικνυμένην τήν τε ἰδίαν ἐπιφάνειαν, „ καὶ τὸ πρὸς τοὺς δεομένους τῶν ἀνθρώπων εὐεργετι- „ κόν. Ἀποδείξεις δὲ τούτων φασὶ φέρειν ἑαυτοὺς οὐ μυθολογίας, ὁμοίως τοῖς Ἕλλησιν, ἀλλὰ πράξεις ἐναργεῖς. Πᾶσαν γὰρ σχεδὸν τὴν οἰκουμένην μαρτυρεῖν ἑαυτοῖς εἰς τὰς ταύτης τιμὰς, φιλοτιμουμένην διὰ τὴν ἐν ταῖς θεραπείαις ἐπιφάνειαν. Κατὰ γὰρ τοὺς ὕπνους ἐφισταμένην διδόναι τοῖς κάμνουσι βοηθήματα πρὸς τὰς νόσους, καὶ τοὺς ὑπακούσαντας αὐτῇ, παραδόξως ὑγιάζεσθαι. Καὶ πολλοὺς μὲν ὑπὸ τῶν ἰατρῶν διὰ τὴν δυσκολίαν τοῦ νοσήματος ἀνελπισθέντας, ὑπὸ ταύτης σώζεσθαι, συχνοὺς δὲ παντελῶς πηρωθέντας τὰς ὁράσεις, ἤ τινα τῶν ἄλλων μερῶν τοῦ σώματος, ὅταν πρὸς ταύτην τὴν Θεὸν καταφεύγωσιν, εἰς τὴν προϋπάρξασαν ἀποκαθίστασθαι τάξιν. Καὶ διὰ τοῦτο

γέγονεν, ἵνα πολλὰ τῶν Φαρμάκων Ἴσις κεκαλημένα ἦν, οὐδενὸς ἕνεκα, ἤ του πάντα τῶν νȣσημάτων ἰήασθαι. σύμβαλλ. Γαληνὸν περὶ Φαρμακ. ἀπλ. βιβλ. ε. χωρὶς δὲ τȣτέων ἡ Ἴσις πλεομένων ἐπροςάτευσεν, ἐνθένδε καὶ ἐν ἀριςερῇ βοτάνην, ἐν δὲ δεξιῇ πλεῖον Φορέειν εἰώθεν, ἢ καὶ πίνακες παυομένου πλόου, ἀνατιθέμενοί εἰσι, μαρτυρέοντος του Λουκιανοῦ. Διαλογ. Διὸς καὶ Ἑρμοῦ. σύμβαλλ. Πλοῖον.

ΚεΦ. ή.

Μετὰ δὲ τὸ τῆς Ἴσιδος ἱερὸν οἱ Αεγύπτιοι Ὥρου καὶ Σαράπιδος ναούς ἐν μεγάλῃ τιμῇ ἤγαγον, ὧν καὶ ἑκάτερος τῶν πρὸς τὴν θεραπείην νουσημάτων ἐμ„πειρότατος ἐὼν ἔτυχεν, ὥςπερ Διοδ. Συκελ. καὶ „Στράβων ἱςορέουσι. Περὶ δὲ τοῦ Ὥρου ἱεροῦ οὕτως „Διόδωρος: τὸν δὲ Ὧρον μετερμηνευόμενον Φασὶν „Ἀπόλλωνα ὑπάρχειν, καὶ τήν τε ἰατρικὴν ὑπὸ τῆς „μητρὸς Ἴσιδος διδαχθέντα, διὰ τῶν χρησμῶν, καὶ „τῶν θεραπειῶν εὐεργετεῖν τὸ τῶν ἀνθρώπων γένος. βιβλιοθ. ἱςορικ. α. Περὶ δὲ τοῦ Σαράπιδος Στράβων· ἔχουσα τὸ τοῦ Σαράπιδος ἱερὸν πολλῇ ἁγιςείᾳ τιμώμενον, καὶ θεραπείας ἐκΦέρον, ὥςε καὶ τοὺς ἐλλογιμωτάτους ἄνδρας πιςεύειν, καὶ ἐγκοιμᾶσθαι αὐτὲς ὑπὲρ ἑαυτῶν, ἢ ἑτέρων. Συγγράφουσι δὲ τινες καὶ τας θεραπείας, ἄλλοι δὲ ἀρετὰς τῶν ἐνταῦθα λογίων.

γίων. γεωγραφ. βιβλ. ιζ'. Ὁ μὲν οὖν Σάραπις πολ-„ λοῖσι τῶν νουσεόντων βοηθήματα κατὰ τοὺς ὕπνους ἔ-„ δωκε, καὶ ξιφειλινὸς, ὁ τοῦ Δίωνος συντομεὺς, δύο κάμνοντας διηγέεται, τὸν μὲν τυφλὸν, τὸν δὲ χεῖρα, ἢ ὡς ἄλλοισιν ἔδοξαν, πόδα ἀθενέα, οἵτινες κατ' ὄναρ χρηματισθέντες, ἀπὸ τοῦ Βεσπεσιανοῦ τοῦ σεβασμίου, ἐθεραπεύθησαν. Μάλιστα δὲ ἡ Ἀλεξανδρείη, διὰ μαντεῖον ἐγκοιμαομένων, καὶ ἱερὸν Σαράπιδος κατ' ἐκείνους χρόνους πολλῆς τιμῆς ἠξιώθη, ὥσπερ ἐκ τοῦ Στράβωνος γεωγραφ. βιβλ. ιζ'. καὶ τῆς τοῦ Ἀρτεμιδώρ. βιβλ. „ γ. Ὀνειροκρ. ῥήδιόν ἐστι διαγνῶναι.

Κεφ. Θ.

Ἐπειδὴ δὲ περὶ τῶν τῆς Ἴσιδος, καὶ Ὥρου, καὶ Σαράπιδος ναῶν εἰρήκαμεν περὶ τὰ τοῦ Ἀσκληπιοῦ ἱερὰ ἤδη μεταβησόμεθα, πανταχόθεν ἀξιολόγως τιμαόμενα. Οὗτος μὲν γὰρ, κατὰ Πλούταρχον, ἰητρι-„ κῆς ἐπιστάτης ὑπάρχων, Συμποσ. βιβλ. ζ'. ἀπὸ τοῦ„ Ἀπόλλωνος, τοῦ πατρὸς σοῦ τὴν τέχνην ἔμαθε, καὶ εἰς τοσαύτην ὑπερβολὴν ἐκείνης ἧκεν, ὥστε πανταχοῦ θείης θεραπείης περὶ πάντων τυχὼν, ἱερὰ κατασκευασθῆναι. Μαρτυρέει δὲ τοῦτο ἡ νῆσος Κῶος, ἐν ᾗ τὸ Ἀσκληπεῖον ἦν, ὥσπερ γράφει Στράβων, σφόδρα ἔνδοξον, καὶ πολλῶν ἀναθημάτων μεστὸν ἱερόν. „

„γεωγραφ. βιβλ. ιδ. Μᾶλλον δὲ ἡ ὅλη νῆσος, κατὰ
„Δίωνα, τῷ Ἀσκληπιῷ καθιερωμένη τυγχάνει,
„βιβλ. να΄. Καὶ Ἱπποκράτης ἐκ τῶν ἀνακειμένων θε-
ραπειῶν ἐνθαῦτα τὰ πρὸς τὰς διαίτας ἐγύμνασε·
ὥσπερ καὶ Σῖμος, ἰητρὸς ἔνδοξος, ἐκ τῆς ἐκείνης νή-
σου προσῆλθε. Μετὰ δὲ ταύτην ἡ Ἐπίδαυρος, πό-
λις οὐκ ἄσημος, καὶ μάλιστα διὰ τὴν ἐπιφάνειαν τοῦ
Ἀσκληπιοῦ, θεραπεύειν νούσους παντοδαπὰς πεπι-
στευμένου, λαμπρὸν εἶχεν ἱερὸν, καὶ λίην πεφοιτημέ-
νον, ἐν ᾧ κατὰ τοὺς ὕπνους τοῖσιν ἀξιόουσι δίδωσι βοη-
θήματα. Καθάπερ καὶ ἐν Περγάμῳ ἐτιμήθη, ὧν
μὲν πρῶτον ἐκ τοῦ Στράβωνος, ὕστερον δὲ ἐκ τοῦ Ἡρω-
„διανοῦ μανθάνομεν. Καὶ τὸ ἱερὸν, φασὶ Στράβων,
„πλῆρες ἔχοντος αἰεί τε τῶν καμνόντων, καὶ τῶν ἀ-
„νακειμένων πινάκων, ἐν οἷς ἀναγεγραμμένοι τυγ-
„χάνουσι αἱ θεραπεῖαι, καθάπερ καὶ ἐν Κῷ τε καὶ
Τρίκῃ γεωγραφ. βιβλ. η΄. Περὶ δὲ τοῦ Περγάμου Ἡ-
„ρωδιανὸς ἠπείχθη εἰς Πέργαμον τῆς Ἀσίας, (φά-
„σκει περὶ τοῦ βασιλέως τοῦ Ἀντωνινοῦ Καρακάλλου)
„χρήσασθαι βουλόμενος τοῦ Ἀσκληπιοῦ ἀφικόμε-
„νος δὴ ἐκεῖ, καὶ ἐς ὅσον ἤθελε, τῶν ὀνειράτων ἐμφο-
„ρηθεὶς, ἧκεν εἰς Ἴλιον. Ἱστορ. βιβλ. δ. κεφ. η. σύμβαλλ.
Λουκιανὸν ἐν Ἰκαρομενίππ. περὶ δὲ τοῦ ἱεροῦ Ἡφαί-
στου ἐν Μέμφει, ἴδε Γαληνὸν περὶ ἰητρικ. βιβλ. ε.

Ἐν τῇ Ῥώμῃ καὶ ὠυτὸν μεγάλης τιμῆς τετυχηκέναι, Σούιδα μαρτυρέει, ἐν Δομνῖν@, περὶ οὗ ἐν τοῖσιν ὕςερον εἴπωμεν.

Κεφ. ι.

Ἐνεκοίμησαν δὲ οἱ κάμνοντες ὀυ μόνον ἐν τοῖσιν ἱεροῖσι Θεῶν, περὶ τὴν ἰητρικὴν ἐόντων, ἀλλὰ καὶ ἀπὸ τῶν ἄλλων ἀνέμειναν βοηθήματα, καθάπερ περὶ τοῦ Πριάπου Φανερόν ἐςι Καὶ Λουκιανὸς τοῦ ἀνδριάντος τοῦ Πελίχου, τῶν Κορινθίων ςρατηγοῦ, διαμνημονεύει, ἀφ' οὗ Φαρμακείας οἱ κάμνοντες παρέλαβον. Οὕτως γὰρ γράφει· Ἐγὼ δὲ ὦ Ἐυκράτης ἔφη, ἐκεῖνα ἐ- „ χρύσωσα, ὑπότε μ' ἰάσατο διὰ τρίτης ὑπὸ τοῦ ἠπι- „ άλου ἀπολλύμενον. Φιλοψευδ. Μάλιςα δὲ τοῦτο „ πάντα τῶν μαντείων ἴδιον ἐχηκέναι δοκέει τοῖσι νουσίουσι Φάρμακα διδόναι, διότι καὶ ὁ Ἀλέξανδρος, ὁ γοής, ἔνια τῶν ὑγιεινῶν Φαρμάκων χρηςήρια ζμένοι τι συνέςηκε, ἵνα τῷ τοῦ Ἀσκληπιοῦ σοῦ μαντείῳ μείζονα τιμὴν Φέρῃ. Λουκιανὸς, Ἐν Ἀλεξανδρ. Πλεῖςον δὲ τὴν γνώμην σαφηνίζει ὁ Στράβων, περὶ τοῦ Πλούτωνός τε καὶ Ἥρης ἱεροῦ ἱςορέων. λέγουσι δὲ, „ γράφει, δὴ καὶ τοὺς νοσώδεις, καὶ προσέχοντας „ ταῖς Θεῶν τούτων θεραπείαις, Φοιτᾶν ἐκεῖσε, καὶ „

„διαιτᾶσθαι ἐν τῇ κώμῃ πλησίον τοῦ ἄντρου. Παρὰ „γὰρ τοῖς ἐμπείροις τῶν ἱερέων, οἱ ἐγκοιμῶνταί τε „ὑπὲρ αὐτῶν, καὶ διατάττουσιν ἐκ τῶν ὀνείρων τὰς „θεραπείας. Οὗτοι δ' εἰσὶ καὶ οἱ ἐγκαλοῦντες τὴν τῶν Θεῶν ἰατρείαν. Ἄγουσι δὲ πολλάκις ἐις τὸ ἄντρον, καὶ ἱδρύουσι μένοντες καθ' ἡσυχίαν ἐκεῖ, καθάπερ ἐν φωλεῷ σιτίων χωρὶς ἐπὶ πλείους ἡμέρας. Ἔστι δὲ ὅτε καὶ ἰδίοις ἐνυπνίοις οἱ νοσηλευόμενοι προσέχουσι, μυσταγωγοῖς δ' ὅμως, καὶ συμβούλοις ἐκείνοις χρῶνται, ὡς ἂν ἱερεῦσι. γεωγραφ. βιβλ. ιδ.

Κεφ. ιά.

Ὥσπερ δὲ αἱ πολλαὶ τῶν φαρμακειέων κατὰ τοὺς ὕπνους τοῖσιν ἐγκοιμαομένοισιν ἀναδεικνύμεναι τυγχάνουσιν, ὡσαύτως καὶ ἄνευ τῆς ἐγκοιμήσεος οἱ θεοὶ τοῖσι τῶν σωμάτων θεραπείας ἀξιόουσιν ἐδήλωσεν. Οὕτως γὰρ ὁ Ἀλέξανδρος κατ' ὄναρ εἶδε βοτάνην ἐν τῷ στόματι δράκοντος, ᾗ τραῦμα Πτολεμαίου τοῦ ἀγαπαομένου ἐθεράπευσεν. Ὁ „γὰρ βασιλεὺς, ἱστορέει Διόδωρος, εἶδεν ὄφιν, κατὰ „τὸν ὕπνον, καθ' ἣν ἔδοξεν ὁρᾶν δράκοντα, βοτάνην „ἐν τῷ στόματι κρατεῖν, καὶ δεῖξαι ταύτης τὴν φύ- „σιν, καὶ τὴν δύναμιν, καὶ τὸν τόπον, ἐν ᾧ φύεται. Ἐ- „γερθεὶς οὖν ὁ Ἀλέξανδρος, καὶ τὴν βοτάνην αναζη-

τήσας

τήσας, καὶ θρίψας τό τε σῶμα τοῦ Πτολεμαίου κατέπλασε, καὶ πιεῖν δοὺς ὑγιῆ κατέστησε. Γνωσθείσης δὲ τῆς εὐχρηστίας, καὶ οἱ λοιποὶ τυχόντες τῆς ὁμοίας θεραπείας, διεσώθησαν. Βιβλιοθ. ἱστορικ. βιβλ. ιζ. Ὅμοιόν τι καὶ ὁ Ἀελιανὸς, „ περὶ κούρη Μίλτω, ὕστερον Ἀσπασίη κεκαλημένη „ διηγέεται. Ποικιλ. ἱστορικ. βιβλ. ιβ. κεφ. ά.

Κεφ. ιβ.

Ὀυκ ἂν δὲ πάντες τῆς θεραπείης ἐν νούσοισι τυχόντες, ἐκ τῆς ἀσθενείης ἀνέστησαν, ἀλλὰ πολλοὶ ἐκ τῶν νουσημάτων ἀποτεθνάασι, μηδὲν σημεῖον τῆς ὑγιείης ἀναλαμβάνοντες. Τοῦτο γὰρ μανθάνομεν ἐκ τοῦ Φιλοστράτου, ὑδέρω, λέγοντος, δὲ ἄρα εἴχε- „ το, καὶ μέθη χαῖρον ἀκμοῦ ἠμελεῖ· ἠμελεῖτο δὲ, „ ὑπὸ Ἀσκληπιοῦ διὰ ταῦτα, καὶ οὐδὲ ὄναρ αὐτῷ ἔ- „ φατο. βιβλ. α. Ἀπὸ τουτέων οὖν ἐξεταζομένων, φανερὸν, οἶμαι, γενήσεται ἡ τῶν φαρμάκων ματαιότης, τῶν κατ' ὄναρ διδομένων, ἃ πολλάκις δυναμέων ἐσπάνησαν πρὸς τοὺ ἰητρεύοντοὺς νούσους. Αἱ γὰρ φαρμακεῖαι τοῖσι νουσήμασιν ἀνεργέουσιν οὐκ ἀδήλοισι δυνάμεσιν, ἀλλ' ἐλαχίστοισι μέρισιν, ἰδίας ἰδέας ἔχουσι. Πάντα γὰρ, γράφει Ἱπποκράτης, „ φάρμακά εἰσι τὰ μετακινέοντα τὸ παρεόν· καὶ εἰ, „ μὲν

„μὲν γάρ ἐστι τῶν νουσημάτων Φάρμακα σαφῆ, οὐκ
„ἐπιμένει τὴν τύχην, οἶμαι τὰ Φάρμακα ὑγιᾶ ποιῆ-
„σαι τὰ νουσήματα, εἴπερ ἐστὶ Φάρμακα. Περὶ τόπων
„τῶν κατ' ἄνθρωπον.

Κεφ. ιγ.

Πολλάκις δὲ οἱ νουσέοντες παρὰ τῶν Θεῶν οὐ Φαρμάκων ἐδεήθησαν, ἀλλὰ μόνον περὶ συμβαίνοντος τοῦ νούσου ἐχρηστηριάζοντο, πότερον ἀναῤῥωννύοιεν, ἢ ἀποθνήσκοιεν. Ὁμολογέει μοὶ τοῦτο Ἀρτε-
„μίδωρος, νόσων τις, Φράζει, ἔυξατο τῷ Σαράπιδι,
„εἰ μελλήσει θήσεσθαι τὴν δεξιὰν, αὐτῷ χεῖρα ὄναρ
„ἐπισκέεσθαι, εἰ δὲ μὴ, ἀριστεράν. Ὀνειροκρ. βιβλ. ε.
Πολλοὶ γὰρ τῶν εὐφρονεόντων τοῖσι τοιαύτοισι Φαρμάκοισιν ἠπίστησαν, ἐπεὶ οὐ δύναμιν ἐχήκασιν ἱκανὴν πρὸς τοὺς νούσους ἰητρεύειν, καθάπερ ἐν τοῖσιν ἑξῆς ῥηθήσεται.

Κεφ. ιδ.

Ἀπηλλαγμένων οὖν τε τῶν νουσημάτων, οἱ ῥαΐσαντες τῆς χάριτος ἕνεκα πίνακας ἐν τῷ τοῦ Θεοῦ ἱερῷ, ὃν ἱκέτευον, ἀνεθήκασιν, ἐν οἷσιν ἀναγεγραμμέναι τυγχάνουσι θεραπεῖαι τῶν περὶ τὸ σῶ-

μα νούσων, ἵνα μὴ λάθωνται. Οὕτως γὰρ ἱστορέει Στράβων· συγγράφουσι δὲ τινες τὰς θεραπείας. γεωγραφ. βιβλ. ιζ. σύμβαλλ. βιβλ. θ. καὶ ιδ. Ἐνομίζετο γὰρ τοῦτο παρὰ τοῖσιν ἔθνεσιν, ἵνα τὰς ἰητρείας τῶν σωμάτων, καὶ χρησμοὺς γράφωσι, καὶ νουσηματώδεες τοιούτοισι φαρμάκοισι χρεώμενοι, ἀναῤῥωννύωσιν. Ἔθος γὰρ τοὺς χρησμὸν δεχομένους παραχρῆμα γράφειν, ἵνα μὴ λάθωνται. Σχολιαστὴς τοῦ Σοφοκλ. ἐν Τραχιν. Πολλάκις δὲ τοὺς ὀβε-„ λοὺς, καὶ ἄλλα τῶν ἀναθημάτων προσενηνέγκαν οἱ „ ῥαΐσαντες, καὶ Θεοῖσιν ἀνεθήκασι, σημεῖα τῆς θεραπείης ἐν νούσῳ τυχούσης. Καλῶς ὁ Λουκιανὸς πολλοὶ ἤδ' ἔκειντο ὀβολοὶ πρὸς τοῖν ποδοῖν αὐτοῦ, „ καὶ ἄλλα νομίσματα, ἔνια ἀργυρᾶ πρὸς τὸν μηρὸν, „ κηρῷ κεκολλημένα, καὶ πέταλα ἐξ ἀργύρου, εὐ-„ χαί τινὸς, ἢ μισθὸς ἐπὶ τῇ ἰάσει, ὁπόσοι δι' αὐτὸν „ ἐπαύσαντο πυρετῷ ἐχόμενοι. Φιλοψευδ.

Κεφ. ιε.

Τοιοῦτον δὲ τὸ ἔθος καὶ ἄλλοισιν ἐκ κινδύνων μεγάλων διασωζομένοισι καθέστηκε. Ναυαγοὶ γὰρ τὰ τῆς θαλάσσης κύματα διαφυγμένοι, ἐν πίνακι συμφορὰς ἀπείκαζον, καὶ ἐκείνους περιφέροντες, καὶ τρικυμίας, καὶ ζάλας, καὶ ἀκρωτήρια, καὶ ἐκβο-

λας, καὶ ἱςῶν κλάσεες, καὶ πηδαλίων ἀποκαυλίσεες διεξιόντες, τοῖσιν ἀνθρώποισιν ἔλεος ἐνεποίησαν, ὡς παρὰ πλειόνων λαμβάνοιεν, οὐ δυςυχέες μόνον, ἀλλὰ γυμνοί τε καὶ πάντων ἐνδέες ἀναγκαίων. Πίνακας δὲ τοιούτους εἶτα σὺν ἄλλοισιν ἀναθήμασιν ἐς ἱερὸν τοῦ Θεοῦ ἀλεξητηρίου ἀνεκρέμασαν, οὐκ ἀηδῶς μνημονεύοντες, ὁποῖα ἔπαθον. Ὁμοίως ἂν καὶ οἱ ἄλλοι, ἐκ δεινοῖσι κινδύνοισι διασωθέντες, ἐποίησαν, ὅτι μαρτυρέει ὁ Μάριος, ὃς τῶν συμφορέων ἀπηλλαγμένος, τὸν πίνακα ἐν τῆς Μαρίκης ἱερῷ

„ἐκρέμασε· πίνακα τῶν πράξεων ἐκείνων, ἱςορέει
„Πλούταρχος, γραψάμενος, ἀνέθηκεν εἰς τὸ ἱερὸν.
„Ἐν Μαρίῳ.

Κεφ. ιέ.

Ἐν τοιούτοισι δὲ πινάκισι τὰ μὲν φάρμακα γεγραμμένα, τὰ δὲ μὴ γεγραμμένα ἦν, ὅτι τε τέσσαρες μαρμάρινοι τῶν πινάκων ἐν τῷ τοῦ Ἀσκληπιοῦ ἱερῷ ἐπὶ τὴν νῆσον τιβερινὴν ᾠκοδομημένῳ, καὶ πάλαι ἐγκοιμήσεος ἕνεκα ὀνομαςοτάτῳ, εὑρημένοι, σαφῶς δηλόουσιν, οὓς χαριέςατος ὁ Ἱερώνυμος ὁ Μερκουριάλις, ἰητρὸς ἐνδοξότατος, καὶ τῶν πρὸς τὴν παιδείην ἐμπειρότατος, διεφύλαξεν, οἵτινες ἀξιαπηγητοι, τοιοῦτον τὸν νόον ἔχουσι.

Ἀυταῖς ταῖς ἡμέραις Γαΐῳ τινὶ τυφλῷ ἐχρημάτισεν, ἐλθεῖν ἐπ' ἱερὸν βῆμα, καὶ προσκυνῆσαι, εἶσα ἀπὸ τοῦ δεξιοῦ ἐλθεῖν ἐπὶ τὸ ἀρισερὸν, καὶ θεῖναι τοὺς πέντε δακτύλους ἐπάνω τοῦ βήματος, καὶ ἆραι τὴν χεῖρα, καὶ ἐπιθεῖναι τοὺς ἰδίους ὀφθαλμοὺς, καὶ ὀρθὸν ἀνέβλεψε, τοῦ δήμου παρεστῶτος, καὶ συγχαιρομένου, ὅτι τίσσαι ἀρεταὶ ἐγένοντο ἐπὶ τοῦ σεβαστοῦ ἡμῶν Ἀντωνίνου.

Λουκίῳ πλευριτικῷ, καὶ ἀφιλπισμένῳ ὑπὸ παντὸς ἀνθρώπου, ἐχρημάτισεν ὁ Θεὸς, ἐλθεῖν, καὶ ἐκ τοῦ τριβώμου ἆραι τέφραν, καὶ μετ' οἴνου ἀναφυρᾶσαι, καὶ ἐπιθεῖναι ἐπὶ τὸ πλευρὸν, καὶ ἐσώθη, καὶ δημοσίᾳ ηὐχαρίστησε τῷ Θεῷ, καὶ ὁ δῆμος συνεχαίρετο.

Αἷμα ἀναφέροντι Ἰουλιανῷ, ἀφηλπισμένῳ ὑπὸ παντὸς ἀνθρώπου, ἐχρημάτισεν ὁ Θεὸς, ἐλθεῖν, καὶ ἐκ τοῦ τριβώμου ἆραι κόκκους στροβίλου, καὶ φαγεῖν μετὰ μέλιτος ἐπὶ τρεῖς ἡμέρας, καὶ ἐσώθη, καὶ ἐλθὼν δημοσίᾳ ηὐχαρίστησεν ἔμπροσθεν τοῦ δήμου·

Οὐαλερίῳ Ἄπρῳ στρατιώτῃ τυφλῷ, ἐχρημάτισεν ὁ Θεὸς, ἐλθεῖν, καὶ λαβεῖν αἷμα ἐξ ἀλεκτρυόνος λευκοῦ μετὰ μέλιτος, καὶ κολλύριον συνθεῖναι,

 καὶ

καὶ ἐπὶ τρεῖς ἡμέρας ἐπιχρίσαι ἐπὶ τοὺς ὀφθαλμοὺς, καὶ ἀνέβλεψεν, καὶ ἐλήλυθεν, καὶ ηὐχαρίστησεν δημοσίᾳ τῷ Θεῷ.

Ἐν τῇσιν οὖν ἐπιγραφῇσι τῶν μὲν Φαρμάκων ἐμνήσθη, ἅτε καὶ ὅλα ἐκδιηγησάμεθα πρὸς τὸ ῥῄδιον ἐξετάζειν καὶ δοκιμάζειν ἐν τοῖσιν ὕστερον τὰς τῶν Φαρμακειέων δυνάμεάς τε καὶ ἐνεργείας. Πολλάκις δὲ τῆς Θεραπείης, καὶ Φαρμάκων μηδεμίη μνείμη ἐποιήθη, ἀλλ' εὐφημίης ἕνεκα ἐπιγεγραμμένοι πίνακες ἔτυχον, καθάπερ ἄλλαι τῶν ἐπιγραφέων φανερὸν ποιοεῦσιν. Ἐκ τούτων δὲ κατιδεῖν ἐστιν, ὅτι μὲν ἔνιοι τῶν πινάκων τημεῖς ἕνεκα ἐς ἱερὰ ἐκρέμαντο, ἔνιοι δὲ τὰς Φαρμακείας ἐδήλωσαν, ᾗσιν οἱ κάμνοντες Θεραπείης ἐν τοῖσι νούσοισιν ἔτυχον.

Κεφ. ιζ.

Οὐκ ἂν δ' ἀρνεόμεθα, πολλὰ μὲν τῶν Φαρμάκων, τῶν κατ' ὄναρ δεικνυμένων ἰδίας δυνάμεις ἐσχηκέναι τοὺς νούσους ἰητρεύειν, ὁποῖά τε ὁ Ἥρης ὁ Καππάδοξ ἐκ τοῦ Ἡφαίστου ἱεροῦ, ἐς Μέμφιν κειμένου παραλελημμένα, ἀπομνημονεύει Γαληνὸς περὶ τῶν Φαρμακ. ἁπλ. βιβλ. ε. ὅμως δὲ πλεῖστα ἐκείνων ἀνενέργητα ἀντὶ τοῦ συμβόλου ἔτυχεν,

ἐν

ἐν πολλῆσιν ἀπορίησι τῶν δυναμέων ἔοντα. Διασαφηνίζουσι δὲ τοῦτο αἱ Φαρμακεῖαι, περὶ ὧν ἐν τῇσιν ἐπιγραφῆσιν ἐξηγησάμεθα, μεσαὶ πολλῆς γοητείης τε καὶ ἀπάτης, καὶ ἀνεπιτήδεια τοὺς κάμνοντας ἐξυγιαίνειν. Οὔτε γὰρ ὁ τῆς Ἀφροδίτης ῥόδινος σέφανος τὸ τῆς Ἀσπασίης φῦμα, ἐν τῷ προσώπῳ πεφυμένον ἰήασθαι οἷός τ' ἦν, καθάπερ οὔτε μύρον, οὔτε θαλλοὶ, οὔτε πᾶν ἐκ Θεοῦ φερόμενον. Καὶ τὴν τοιαύτην διανοίην περὶ τῶν λοιπῶν φαρμάκων τοῦ Ἀδριανοῦ, Βεσπεσιανοῦ, καὶ Πυῤῥοῦ ἔχομεν, ὧν μηδέτερος οὔτε τοῖσιν ὑγιεινοῖσι ποσὶν, ὔυτε πτυέλῳ χρησίμῳ κέχρηται· ἢν μὲν τοῖσι κάμνουσι βοηθήσωσιν, οὐκ ἂν χρὴ τὴν αἰτίην δυνάμεσι τῶν φαρμάκων, ἀλλ' εὐνοίη τῶν Θεῶν, ἢ ἄλλῃ τι. αἰτιήσιν ἀνατιθέναι. Καὶ ἦν τ' ὀρθῶς τεκμαιρώμεθα, μαγεύσαντες τὰ νουσήματα ἐθεράπευσαν. Καθάπερ περὶ τοῦ Ἀπολλωνίου τοῦ θυανεῖ φανερόν ἐστιν, ὅστις τῷ Βεσπεσιανῷ τῷ βασιλεῖ, φίλατος ἐὼν, ἐπὶ μαγείῃ, τε καὶ γοητεύματι διήνεγκε, μαρτυρέοντος τοῦ Φιλοσράτου, τοῦ βιογράφου αὐτοῦ. Καὶ τοι Λουκιανὸς καταγελάει ἐπὶ τοιούτοισι φαρμάκοισιν· ἐγὼ δὲ, οἴεσθε γὰρ, ἔφην ἐπῳδαῖς τισι τὰ τοιαῦτα παύεσθαι, ἢ τῆς ἔξωθεν παραρτήμασι, τοῦ κα-

κοῦ ἔνδον διατρίβοντος. Φιλοψευδ. Παρὰ δὲ τοὺς συνγινώσκει μοὶ ὁ Στράβων, περὶ δυνάμεως τῆς βοτάνης, τῆς τῷ Ἀλεξάνδρῳ ἐν ὕπνῳ δεδειγμένης, ἀμφισβητέων, οὕτως γὰρ ἱστορέει. Ἐν δὲ τοῖς Ὠρείταις τὰ τοξεύματα χρίεσθαι θανασίμοις φαρμάκοις ἔφασαν ξύλινα ὄντα, καὶ πεπυρακτωμένα. Τρωθέντα δὲ Πτολεμαῖον κινδυνεύσειν, ἐν ὕπνῳ δὲ παραστάντα τινὰ τῷ Ἀλεξάνδρῳ, δεῖξαι ῥίζαν αὐτόπρεμνον, ἣν κελεῦσαι τρίβοντα ἐπιτιθέναι τῷ τρωθέντι. Ἐκ δὲ τοῦ ὕπνου γενόμενον, μεμνημένον τῆς ὄψεος, εὑρεῖν ζητοῦντα τὴν ῥίζαν πολλὴν πεφυκυῖαν, καὶ χρήσασθαι, καὶ αὐτὸν, καὶ τοὺς ἄλλους. Ἰδόντας δὲ τοὺς βαρβάρους εὑρημένον τὸ ἀλέξημα, ὑποκόους γενέσθαι τῷ βασιλεῖ. Εἰκὸς δὲ τινα μηνύσαι τῶν ἰδότων. Τὸ δὲ μυθῶδες προσετίθει, κολακίας χάριν. γεωγραφ. βιβλ. ιε.

Κεφ. ιη.

Μετὰ τὸν δὲ Στράβωνα ὁ Σουΐδα τὴν ωὐτὴν διανοίην περὶ τοιούτων φαρμάκων ἔχε, καὶ ἀπιστέων ἐκείνοισι, μηδεμίην δύναμιν φυσικὴν πρὸς ἰητρεύειν τοὺς κάμνοντας ἐπικρατέειν, ἀλλ᾽ εἶναι ἀπάτας τε καὶ γοητεύματα, ἐμήνυσεν· οὕτως γὰρ γράφει. Ὁ γὰρ

ἀθήνησιν

ἀθηνησιν Ἀσκληπιὸς τὴν αὐτὴν ἴασιν ἐχρεισμώδει,,
Πλουτάρχῳ τε τῷ Ἀθηναίῳ, καὶ τῷ σύρῳ δομνίνῳ·,,
τούτῳ μὲν αἷμ' ἀποπλύοντι πολλάκις, καὶ τοῦτο,,
Φέροντι τῆς νόσου τὸ ὄνομα. Ἐκείνῳ δὲ οὐκ οἶδα ὅτι,,
νενοσηκότι. Ἡ δὲ ἴασις ἦν, ἐμπίπλασθαι χοιρείων,,
κρεῶν. Ὁ μὲν δὴ Πλούταρχος οὐκ ἠνέχετο τῆς,,
τοιαύτης ὑγείας, καί τοι οὐκ οὔσης παρανόμου κα-,,
τὰ τὰ πατρία, ἀλλ' ἀνασὰς ἀπὸ τοῦ ὕπνου, καὶ,,
διαγκωνισάμενος ἐπὶ τοῦ σκίμποδος ἀποβλέπων,,
εἰς τὸ ἄγαλμα τοῦ Ἀσκλιπιοῦ, καὶ γὰρ ἐτύγ-,,
χανεν ἐγκαθεύδων τῷ προδόμῳ τοῦ ἱεροῦ, ὦ,,
δέσποτα ἔφη τί δὲ ἂν προσέταξας Ἰουδαίῳ νοσοῦντι
ταύτην τὴν νόσον. Οὐ γὰρ ἐκείνῳ ἐμφορεῖσθαι,,
χοιρείων κρεῶν προσέταξας. Ταῦτα εἶπεν. Ὁ δὲ
Ἀσκληπιὸς αὐτίκα ἀπὸ τοῦ ἀγάλματος ἐμμε-
λέςατον δή τινα Φθόγγον ἑτέραν ὑπεγράψατο
Θεραπείαν τῷ πάθει. Δομνῖνος δὲ οὐ κατὰ θέ-
μιν πεισθεὶς τῷ ὀνείρῳ Θέμιν τοῖς σύροις πατρίον,
οὐδὲ παραδείγματι τῷ Πλουτάρχῳ χρησάμενος
ἔφαγε τότε, καὶ ἤσθιεν ἀεὶ τῶν κρεῶν. Λέγεται που,,
μίαν εἰ διέλειπεν ἡμέραν ἄγευςος, ἐπιτίθεσθαι τὸ,,
πάθημα πάντως, ἕως ἀνεπλήσθη. Δομνῖνος. Ἐκ,,
τουτέοισι δὲ ῥηΐδιον καταμαθεῖν, ταῦτα κατὰ
μικρὸν ὠφελέοντα οὔτε τὴν ἰητρικὴν ἐπαυξάνειν,
οὔτε

ὄυτε τὰς νούσους Θεραπεύειν, ἐπειδὴ νουσήματά τε καὶ Φάρμακα ἀσυνάπλατα ἔοντα τύγχάνει. Καὶ χαλεπῶς ἐςὶ διαγνῶναι, τίνα τρόπον πράγματα πλεῖςον κεχωρισμένα ἀλλήλοισιν ἐργάζοιντο· „πάντα γὰρ Φάρμακά ἐςι τὰ μετακινέοντα τὸ πα„ρεὸν, γράφει, Ἱπποκρατ. περὶ τόπων τῶν κατ' ἄνθρωπον, τὸ δὲ παρεὸν ἀμετακινήτωσ ἔχει, ἢν μὴ ἀλλήλοισιν ψαύωνται.

Κεφ. ιθ.

Ὑπὸ δὲ πάντων τοῦτο, οἶμαι, ὁμολογήσεσθαι μέλλει, τὰς μὲν Φαρμακείας οὐκ ἀδήλοισι δύναμεσιν, ἀλλὰ διὰ τῶν ἐλαχίςων μεριδῶν, ποικίλως κεχαρακτηρισμενέων, ἐνεργεεῖν. Προποθέντα γὰρ Φάρμακα ἐπιρρέει τῷ αἵματι, καὶ διὰ περιόδου τῶν ὑγρῶν πανταχόθεν περιΦερόμενα, ὁμοίως τοῖσιν ὀργάνοισι μηχανικοῖσιν ἐργάζεται, καὶ κατὰ ποικιλίην τῶν ἐλαχίςων σωματίων ἑωυτῶν τέμνει, τερέει, ξύει, ἐμΦράττει, ἐκλύει, τραχύνει, λεαίνει. Τοῦτο γὰρ Φανερὸν ποιέουσιν αἱ ἁλυκαὶ Φαρμακεῖαι, λεπτοῖσι μέρεσι πυκνὰς τε καὶ ἰξώδεες τῶν ὑγροτήτων κατὰ τρόπον τῶν ἐλαχίςων οἰςευμάτων, ἢ ξιΦιδίων ξυντέμνουσαι, ἢ ἐν τοῖσι πόροισι ςατιζούσας, ἐς τρόχον περιτρέπουσιν, ἵνα ῥηδίως σῶμα περιῤῥέουσαι,

τὴν

τὴν τοῦ αἵματος βιοτικὴν περίοδον διασώζωσι. Τουναντίον δὲ αἱ στύφοντες φαρμακεῖαι, ὑγρὰ λίην ῥοώδεα πυκνοῖσί τε καὶ γεώδεσι τῶν μερίδων δεσμεύουσαι, τὴν τῶν πλητικῶν σωματίων ὁρμὴν πιέζουσαι, καὶ τῆς τοῦ αἵματος περιόδου κατεχούσης, τρόχον σοῦ χαλαίτερον ποιέουσι. Ὁμοίως τὰ λοιπὰ τῶν φαρμάκων ἐργάζεται, τὰ ὑγρὰ κατὰ τὴν διάθεσιν μηχανικὴν τῶν μερίδων κινέοντα, ἐξ ὧν καὶ πᾶσαι τῶν ἐνεργειέων ἐν σώματι γινόμεναι καταφοιτάουσιν.

Κεφ. κ΄.

Ἔπειτα δὲ τοῦτο χρὴ εἰδέναι, τοὺς ἐκείνους πολὺ τῆς ἀληθείης διαμαρτάνειν, νομίζοντες τὰς φαρμακείας ἰδικὰς δυνάμεας ἔχειν, καὶ μόνον τὸ ἐγκέφαλον, ἢ μήτρην, ἢ στόμαχον, ἢ νεφρούς, ἢ σπλῆνα, ἢ ἧπαρ θεραπεύειν, λοιπῶν δὲ τοῦ σώματος μελέων ἀμελέειν. Ἄλλη δὴ γε γνώμη προσχρέεται ὁ Ἱπποκράτης, φάρμακα καθόλου τὸ σῶμα χωρὶς διαφορᾶς καθαίρειν, φράζων, ὑπὸ δὲ τῆς περιϊσταμένης ὥρης ποτὲ μὲν πλείω ἄγει σφῶν αὐτὰ ἑωυτέων, ποτὲ δὲ ἐλάσσω, ἕκαστα κατὰ μέρος τε καὶ κατὰ φύσιν. Τὸ γὰρ φάρμακον ὁκόταν ἐσέλθῃ ἐς τὸ σῶ-„ μα, πρῶτον ἄγει, ὃ ἂν αὐτῷ κατὰ φύσιν μάλιστα „ ᾖ, τῶν ἐν τῷ σώματι ἐνεόντων· ἔπειτα καὶ τ᾽ ἄλλα, „ ἕλκει τε καὶ καθαίρει. Περὶ φύσιος ἀνθρώπου. „

Φαρ-

Φαρμακοποτέει μὲν γὰρ τὸ αἷμα, διὰ περιόδου πασὶ μέρεσι τοῦ σώματος ἴσως παραχέον, ἀφ᾽ ὧν οὐ μόνον τὸ αἷμα, καὶ ἴδια τῶν ὑγρῶν, ἐκ τοῦ αἵματος, ὥσπερ ἐκ τῆς πηγῆς, ἀποῤῥέοντα, καὶ μετ᾽ ἐνεργειέων τῶν Φαρμάκων συμμεμιγμένα, λίην μεταλλάττονται, ἐπιτήδεια γινόμενα πρὸς τὸ ἐκλύειν, καὶ ἐκβάλλειν τὴν τοῦ νουσήματος αἰτίην ἐκ τοῦ σώματος, ἀλλὰ καὶ τῶν Φαρμάκων δυνάμεες δι᾽ ἀρτηριέων τοῖσι σκληροῖσι μέλεσιν ἐπιῤῥέουσι ταῦτα ἢ βεβαιόουσαι ἢ χαλάοσαι, ἢ κατατείνουσαι, κατὰ τὴν διάθεσιν τῶν μερίδων, ἄλλοισι καὶ ἄλλοισι χαρακτῆρσι χρεωμενέων.

Κεφ. κά.

Χωρὶς δὲ τουτέων εἰληφότες τὸν καιρὸν τοῦ λέγειν, μηδέποτε τὸ παραλειπτέον, πανακὲς Φάρμακον, ἀφ᾽ οὗ πολλοὶ μεῖζον τοῦ δέοντος μεγαλαυγέουσιν, οὔτε πρότερον εὑρημένου ὑπάρξαι, οὔτε ὕστερον τυχὸν εὑρήσειν μέλλει. Σκεψάμενοι γὰρ καὶ διελθόντες πρὸς ἡμᾶς τὸ τῶν ὑγρῶν πλῆθος, παντοίας δυνάμεας ἐν ἑωυτοῖσιν ἐχόντων τε καὶ ἰσχὺν, σχεδὸν ὑπεραρίθμους τῶν μερίδων, μεγάλα ἀλλήλων διαφερούσας, σφῖσιν αὐτοῖσιν ἐνεῖναι κατανοέομεν, ὑφ᾽ ὧν πάσχει καὶ ἑτεροιόονται ἄνθρωποι, ἢ τοῖον, ἢ τοῖον, καὶ διὰ τουτέων πᾶς ὁ βίος καὶ ὑγιαίνοντι, καὶ ἐκ νούσου ἀνατρεφομένῳ, καὶ κάμνοντι.

Δοκέει

Δοκέει μὲν γάρ μοι ἰουςοὐκ ὀρθῶς γινώσκειν, οἱ λέγοντες, ἓν ἐὸν ἐν τῷ ἀνθρώπῳ, καὶ αἷμα ὁμογενὲς, καὶ τοῦτο εἶναι τὸ ἕν τε καὶ τὸ πᾶν. Ἐι γὰρ ἓν ἦν ὁ ἄνθρωπος, καὶ αἷμα ὁμογενὲς, οὐδέποτ᾽ ἂν ἤλγεεν, οὐδὲ γὰρ ἂν ἦν ὑπὸ τοῦ ἀλγήσειεν, ἓν ἐόν. Νυνὶ δὲ πολλά ἐςιν ἔοντα, παντοίας ἐνεργείας κρατέοντα, καὶ πόνον, τε καὶ ὀδύνην παρέχοντα. Ὁκόσα γὰρ κακοπαθέει ἄνθρωπος νουσήματα, πάντα ἀπὸ τῶν δυναμέων γίνεται, καὶ πολλὰ ἄλλα ἔσω καὶ ἔξω τοῦ σώματος αἴτια νούσων, ἃ μεγάλα ἀλλήλων διαφέρει πρὸς τὰ παθήματα, καὶ μηδεμίην ξυγγενίην ἔχει. Νουσώδεες γὰρ ἀτμοὶ ἔξω ἐς σῶμα ὑπερχόμενοι κατ᾽ ὀλίγον αὐξάνονται, καὶ ἰχυρότεροι γινόμενοι, καὶ ὁρμάοντες μάλιςα πρὸς τὸ ἀντιπαῖον, ἄνθρωπον λυπέουσι, πολλῶν ἀρχαὶ νουσημάτων γυνόμενοι. Καλῶς ὁ Ἱπποκράτης. Πολλὰ,, γάρ, εἰσιν ἐν τῷ σώματι ἔοντα, ἃ ὁκόταν ὑπ᾽ ἀλλήλων παρὰ φύσιν θερμαίνηταί τε καὶ ψύχηται,,, καὶ ξηραίνηταί, τε καὶ ὑγραίνηται νούσους τίκτει.,, Ὥςτε πολλαὶ μὲν ἰδέαι τῶν νουσημάτων, πολλὴ δὲ,, καὶ ἴησις αὐτέων ἐςίν. περὶ φύσιος ἀνθρώπου.

Κεφ. κϐ.

Τὸ δὲ καθ᾽ ὕλην τοῦ πανακέος φαρμάκου, οἱ περὶ τὴν ἰητρικὴν ἔοντες τῇσι δόξῃσι πάνυ σφόδρα ἀλλήλων

λήλων διαφέροντες, ὡυτὴν ἀπορίως ἔχουσιν, ὅτι οἱ λεγόμενοι λόγοι δηλώουσι, καὶ τῶν εἰδώτων τὴν τέχνην ἐπιδείξιες, ἐκ τῶν ἔργων μᾶλλον, ἢ ἐκ τῶν λόγων πεποιημέναι. Πρῶτον μὲν οὖν κατὰ τὰ ὀνόματα οὐχ ὁμολογέοντες, τοὺς μὲν τὸν χρυσὸν εἶναι τὴν ὕλην „λέγοντας, τοὺς δὲ τὸ ἄργυρον, τοὺς χαλκαν„θὲς, τούς δ' ἰὸν τοῦ χαλκοῦ, κατὰ Στράβωνα πρὸς „τὰς ἰατρικὰς δυνάμεις χρήσιμον, γεωγραφ. „βιβλ. ιδ. τούς δ' ἄλλον μέταλλον, καὶ ἕκαστος προτίθησι τῷ ἑωυτῷ λόγῳ μαρτύριά τε καὶ τεκμήρια, ἅγε δὴ ἐστὶν οὐδέν. Οὐ γὰρ γινώσκουσιν ὡυτά, καὶ οἱ τοιοῦτοι ἄνθρωποι σφᾶς ἑωυτοὺς καταβάλλουσιν ἐν τοῖσιν ὀνόμασι τῶν λόγων ἑωυτέων ὑπὸ τῆς ἀσυνεσίης. Μετὰ δὲ τοῦτο πλεῖστοι τὴν τῶν μετάλλων γένεσιν, καὶ τῶν γεγεννημένων διάλυσιν ἀγνοηθέντες, πρὸς ἀλλήλους ἀντιλέγουσι, καὶ ὁτὲ μὲν οὗτος ἐπικρατέει, ὁτὲ δὲ οὗτος, ὁτὲ δὲ, ᾧ ἂν τύχῃ μάλιστα ἡ γλῶσση ῥυεῖση πρὸς τὸν ὄχλον. Ὁκόσοι δὲ προθέμενοι τὸ πῦρ ἀναλύειν τὰ μέταλλα ἐς στοιχεῖα, καὶ τὰ γεγεννημένα τοιούτῳ σχήματι προϋπάρξαι, ἐν πολλοῖσι μὲν, καὶ οἷσι λέγουσι, καταφανέες εἰσὶν ἁμαρτάνοντες. Τὰ γὰρ γεγεννημένα τῶν μετάλλων ὑπὸ τοῦ πυρός ἐστι, μίγματα παντοίων σωματίων, ἰδέας καὶ δυνάμεας ἐχόντων μεγάλα ἀλλήλοισι διαφερούσας. Τὸ γὰρ πῦρ

πρὸς

πρὸς τὰ μεμιγμένα ἐφορμάον, καὶ διαιρέον ἐκεῖνά, τε καὶ ἀλλήλων ἀτάκτως συνάγον, πάνυ σφόδρα ἄλλα τῶν σωμάτων τίκτει, οὐκ ἐοικότα τοῖσιν ἐκείνοισιν, ἐξ ὧν ἐγενήθη· οὔτε γὰρ τὸ τοῦ κέρατος ἐλαφείου ἅλς πλητικὸς πρὶν χέαι, ὑπῆρξεν τοιούτῳ χήματι, οὔτε τὸ ὄξος οἴνῳ ἔνεστιν, ἀλλὰ μεταξὺ ζυμόσιν ἐγέννησεν.

Κεφ. κγ.

Τὸ δὲ τελευταῖκον, τὰ νουσήματα, μεγάλα ἀλλήλοισι διαφέροντα, οὐχ ἅπαντα ἐξ ἑνὸς αἰτίου γεννάεται, καὶ ἐν τοῖσι μὲν τὸ ὀξὺ, ἐν τοῖσι δὲ τὸ φλεγματῶδες, ἢ ἁλμυρὸν, ἢ στρυφνὸν, ἢ πικρὸν, ἢ ἄλλο τι κάματον παρέχει, ὧν ἕκαστον ἰδίης ἰήσεως δεέται. γνοίης δ' ἂν τοῖσιν ὅτι οὐχ ἓν ταῦτα πάντα ἐστὶν, ἀλλ' ἕκαστον ὡυτέων ἔχει δύναμίν τε καὶ φύσιν τὴν ἑωυτέου. Ἢν γάρ τινι δίδως ἀνθρώπῳ φάρμακον, ὅ, τι φλέγμα ἄγει, τὸ μὲν καθαίρει, ὀξὺ δὲ ἢ ἁλμυρὸν οὐ καθαίρει, ὅτι διήλλακται ἀλλήλων τὴν ἰδέην τε καὶ τὴν δύναμιν. Ὥςπερ γοῦν τὰ μύρια ἔνι τῷ ἀνθρώπῳ, παντοίας δυνάμεας ἔχοντα, καὶ ἰχὺν, οὕτως πολλαὶ τῶν νούσων ἔουσαι τυγχάνουσιν, ὧν ἑκάστη ἰδίην δύναμιν καὶ φύσιν ἔχει, καὶ τὰ μὲν τῶν ὑπαρχόντων ἀποβέβληκεν, ἄλλοισι δὲ

κέκριται καὶ μέμικται. Τουτέων οὖν οὕτως ἐχόντων, καθάπερ Φανερόν ἐστι, Φρονιμώτεροι ἂν ἐόντες τυγχάνουσι ἰητροὶ, τὰς τῶν νούσων αἰτίας μετὰ σπουδῆς σκεψάμενοι, τοῦ πανακέος Φαρμάκου ἀμελέουσιν, Εἰ γὰρ ταύτας ἐιδείη τις καλῶς, μάλιστα μὲν πάσας εἰ δὲ μὴ τάς γε πλείονας, οὐκ ἂν λανθάνοι τὰ νουσήματα, οὔτε τῶν κοινῶν ἡ Φύσις, ὁκοίη τίς ἐστι, καὶ ῥηδίως ἐπιτήδεια τῶν Φαρμάκων εὑρήσει πρὸς τὰς νούσους ἰητρεύειν, ὥστε μὴ ἀπορέεσθαι ἐν τῇ Θεραπείῃ τῶν νουσευμάτων, μηδὲ διαμαρτάνειν, ὅ, τι καὶ προστάττει ὁ Ἱπποκράτης, τοῖσι καὶ λόγοισι τῆς διαλέξεος τῆς ἡμετέρης παυόμεθα. Δεῖ
„δὴ, Φάσκει, καταμανθάνειν τὴν κατάστασιν τῶν
„ὡρῶν ἀκριβῶς, καὶ τῶν νούσων ἑκάστην· ὅ, τι νούση-
„μα ἀγαθὸν, καὶ ὅτι κινδυνῶδες, ἢ ἐν τῇ καταστάσει,
„ἢ ἐν τῇ νούσῳ· ὅ, τι νούσημα μακρὸν, ὅ, τι νόυσημα
„θανάσιμον· μακρὸν, ὅ, τι περιεστικὸν, ἢ θανάσιμον
„ὀξὺ, ὅ, τι θανάσιμον, ἢ περιεστικόν. Περὶ Κρισίμων.

LANE MEDICAL LIBRARY
300 PASTEUR DRIVE
PALO ALTO, CALIF. 94304